# Ἔθνη Θρᾳκικά.

## Γέται.

„Οἱ τοίνυν Ἕλληνες τοὺς Γέτας Θρᾷκας ὑπελάμβανον· ᾤ- Στραβ. Ζ.
κουν δ' ἐφ' ἑκάτερα τοῦ Ἴστρου καὶ οὗτοι καὶ οἱ Μυσοί, Θρᾷκες 295
ὄντες καὶ αὐτοὶ καὶ οὓς νῦν Μοισοὺς καλοῦσιν, ἀφ' ὧν ὡρ-
μήθησαν καὶ οἱ νῦν μεταξὺ Λυδῶν καὶ Φρυγῶν καὶ Τρώων
οἰκοῦντες Μυσοί. καὶ αὐτοὶ δ' οἱ Φρύγες Βρίγες εἰσί, Θρᾳκιόν
τι ἔθνος, καθάπερ καὶ Μυγδόνες καὶ Βέβρυκες καὶ Μαι-
δοβιθυνοὶ καὶ Θυνοί, δοκῶ δὲ καὶ τοὺς Μαριανδυνούς. οὗτοι
μὲν οὖν τελέως ἐκλελοίπασι πάντες τὴν Εὐρώπην, οἱ δὲ Μυσοὶ
συνέμειναν. καὶ Ὅμηρος δ' ὀρθῶς μοι δοκεῖ Ποσει-
δώνιος τοὺς ἐν τῇ Εὐρώπῃ Μυσοὺς κατονομάζειν (λέγω δὲ τοὺς
ἐν τῇ Θρᾴκῃ) ὅταν φῇ „αὐτὸς δὲ πάλιν τρέπεν ὄσσε φαεινὼ νό-
σφιν ἐφ' ἱπποπόλων Θρῃκῶν καθορώμενος αἶαν Μυσῶν τ'
ἀγχεμάχων.“ ἐπεὶ εἴ γε τοὺς κατὰ τὴν Ἀσίαν Μυσοὺς δέχοιτό
τις, ἀπηρτημένος ἂν εἴη ὁ λόγος. τὸ γὰρ ἀπὸ τῶν Τρώων τρέ-
ψαντα τὴν ὅρασιν ἐπὶ τὴν Θρᾳκῶν γῆν συγκαταλέγειν ταύ-
τῃ τὴν τῶν Μυσῶν, τῶν οὐ νόσφιν ὄντων ἀλλ' ὁμόρων τῇ
Τρῳάδι καὶ ὄπισθεν αὐτῆς ἱδρυμένων καὶ ἑκατέρωθεν,
διειργομένων δ' ἀπὸ τῆς Θρᾴκης πλατεῖ Ἑλλησπόντῳ, συγχέον-
τος ἂν εἴη τὰς ἠπείρους καὶ ἅμα τῆς φράσεως οὐκ ἀκού-
οντος. τὸ γὰρ „πάλιν τρέπεν“ μάλιστα μέν ἐστιν εἰς τοὐπίσω· ὁ
δ' ἀπὸ τῶν Τρώων μεταφέρων τὴν ὄψιν ἐπὶ τοὺς ἢ ὄ-
πισθεν αὐτῶν ἢ ἐκ πλαγίων ὄντας προσωτέρω μὲν με-
ταφέρει, εἰς τοὐπίσω δ' οὐ πάνυ. καὶ τὸ ἐπιφερόμενον δ' αὐ- Η. 296
τοῦ τούτου μαρτύριον, ὅτι τοὺς Ἱππημολγοὺς καὶ Γαλακτοφάγους

269

# Τριβαλλοὶ Γέται.

Ἀλέξανδρος ὁ Μέγας. Σύρμος. Δρομιχαίτης. Λυσίμαχος.

« Ἀλέξανδρος γὰρ ὁ Φιλίππου κατὰ τὴν ἐπὶ Θρᾷκας τοὺς ὑπὲρ τοῦ Αἵμου στρατείαν ἐμβαλὼν εἰς Τριβαλλούς, ὁρῶν μέχρι τοῦ Ἴστρου καθήκοντας καὶ τῆς ἐν αὐτῷ νήσου Πεύκης, τὰ πέραν δὲ Γέτας ἔχοντας, ἀφῖχθαι λέγεται μέχρι δεῦρο, καὶ εἰς μὲν τὴν νῆσον ἀποβῆναι μὴ δύνασθαι σπάνει πλοίων (ἐκεῖσε γὰρ καταφυγόντα τὸν τῶν Τριβαλλῶν βασιλέα ἀντισχεῖν πρὸς τὴν ἐπιχείρησιν), εἰς δὲ τοὺς Γέτας διαβάντα ἑλεῖν αὐτῶν πόλιν καὶ ἀναστρέψαι διὰ ταχέων εἰς τὴν οἰκείαν, λαβόντα δῶρα [παρὰ] τῶν ἐθνῶν καὶ παρὰ τοῦ Σύρμου. φησὶ δὲ Πτολεμαῖος ὁ Λάγου κατὰ ταύτην τὴν στρατείαν συμμῖξαι τῷ Ἀλεξάνδρῳ Κελτοὺς τοὺς περὶ τὸν Ἀδρίαν φιλίας καὶ ξενίας χάριν, δεξάμενον δὲ αὐτοὺς φιλοφρόνως τὸν βασιλέα ἐρέσθαι παρὰ πότον, τί μάλιστα εἴη ὃ φοβοῖντο, νομίζοντα αὐτὸν ἐρεῖν· αὐτοὺς δ' ἀποκρίνασθαι ὅτι οὐδὲν πλὴν εἰ ἄρα μὴ ὁ οὐρανὸς αὐτοῖς ἐπιπέσοι, φιλίαν γε μὴν ἀνδρὸς τοιούτου περὶ παντὸς τίθεσθαι. ταῦτα δὲ ἁπλότητός ἐστι τῶν βαρβάρων σημεῖα, τοῦ τε μὴ συγχωρήσαντος τὴν ἀπόβασιν τὴν εἰς τὴν νῆσον, δῶρα δὲ πέμψαντος καὶ συνθεμένου φιλίαν, καὶ τῶν φοβεῖσθαι μὲν οὐδένα φαμένων, φιλίαν δὲ περὶ παντὸς τίθεσθαι μεγάλων ἀνδρῶν. ὅ τε Δρομιχαίτης κατὰ τοὺς διαδόχους ἦν Γετῶν βασιλεύς· ἐκεῖνος τοίνυν λαβὼν ζωγρίᾳ Λυσίμαχον ἐπιστρατεύσαντα αὐτῷ, δείξας τὴν πενίαν τήν τε ἑαυτοῦ καὶ τοῦ ἔθνους, ὁμοίως δὲ καὶ τὴν αὐτάρκειαν, ἐκέλευσε τοῖς τοιούτοις μὴ πολεμεῖν ἀλλὰ φίλοις χρῆσθαι· ταῦτα δ' εἰπὼν ξενίσας τε καὶ συνθέμενος φιλίαν ἀπέλυσεν αὐτόν. »

Στραβ. Ζ. 301. .. 302

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

και αυτους συνῆψεν αυτοις, οίπερ εισιν οι αμαξοικοι Σκυθαι και Σαρμαται. και γαρ νυν αναμεμικται ταυτα τα ἔθνη τοις Θραξι και τα Βασταρνικα, μαλλον μεν τοις εκτος του Ἴστρου, αλλα και τοις εντος. τουτοις δε και τα Κελτικα, οί τε Βοιοι και Σκορδισκοι και Ταυρισκοι. τους δε Σκορδισκους ένιοι Σκορδιστας καλουσι· και τους Ταυρισκους δε Τευρισκους η Ταυριστας φασι.

Λέγει δε τους Μυσους ο Ποσειδωνιος και εμψυχων απεχεσθαι καθ' ευσεβειαν, δια δε τουτο και θρεμματων· μελιτι δε χρησθαι και γαλακτι και τυρῳ ζωντας καθ' ησυχιαν, δια δε τουτο καλεισθαι θεοσεβεις τε και καπνοβατας· ειναι δε τινας των Θρᾳκων οι χωρις γυναικος ζωσιν, ους κτιστας καλεισθαι, ανιερωσθαι τε δια τιμην και μετα αδειας ζην· τουτους δε συλληβδην απαντας τον ποιητην ειπειν αγαυους ιππημολγους γλακτοφαγους αβιους τε, δικαιοτατους ανθρωπους. αβιους δε προσαγορευειν μαλιστα ότι χωρις γυναικων, ηγουμενον ημιτελη τινα βιον τον χηρον, καθαπερ και τον οικον ημιτελη τον Πρωτεσιλαου διοτι χηρος· αγχεμαχους δε τους Μυσους, ότι απορθητοι, καθα οι αγαθοι πολεμισται· δειν δε εν τῳ τρισκαιδεκατῳ γραφειν αντι του „Μυσων τ' αγχεμαχων“ „Μοισων τ' αγχεμαχων.“

Το μεν ουν την γραφην κινειν εκ τοσουτων ετων ευδοκιμησασαν περιττον ισως· πολυ γαρ πιθανωτερον ονομαζεσθαι μεν εξ αρχης Μυσους, μετωνομασθαι δε ως νυν.

# Ἔθνη θρᾳκικα.

## Γετων πολυγαμια

τους αυτους δε τοις χηροις ου μαλλον η τοις ανεστιοις και τοις
αμαξοικοις δεξαιτ' αν τις· μαλιστα γαρ περι τα συμβολαια η
την των χρηματων κτησιν συνισταμενων των αδικηματων,
τους ουτως απ' ολιγων ευτελως ζωντας δικαιοτατους εικος ονομασ-
θηναι· επει και οι φιλοσοφοι τῃ σωφροσυνῃ την δικαιοσυ-
νην εγγυτατω τιθεντες το αυταρκες και το λιτον εν τοις
πρωτοις εζηλωσαν· αφ' ου και προεκπιπτειν τινας αυτων
παρεωσαν επι τον κυνισμον. το δε χηρους γυναικων
οικειν ουδεμιαν τοιαυτην εμφασιν υπογραφει, και μαλιστα
παρα τοις Θραξι και τουτων τοις Γεταις. ορα δ' α λεγει Με- 297.
νανδρος περι αυτων ου πλασας, ως εικος, αλλ' εξ ιστοριας λα-
βων, „ παντες μεν οι Θρακες, μαλιστα δ' οι Γεται ημεις α-
παντων (και γαρ αυτος ευχομαι εκειθεν ειναι το γενος)
ου σφοδρ' εγκρατεις εσμεν. και υποβας μικρον της περι τας
γυναικας ακρασιας τιθησι τα παραδειγματα, „ γαμει γαρ
ημων ουδε εις, ει μη δεκ' η ενδεκα γυναικας δωδεκα τ' η πλε-
ους τινας. αν τετταρας δ' η πεντε γεγαμηκως τυχῃ κατα-
στροφης τις, ανυμεναιος αθλιος ανυμφος ουτος επικαλειτ' εν τοις
εκει. ταυτα γαρ ομολογειται μεν και παρα των αλλων
ουκ εικος δε τους αυτους αμα μεν αθλιον νομιζειν βι-
ον τον μη μετα πολλων γυναικων, αμα δε σπουδαιον
και δικαιον τον των γυναικων χηρον. το δε και θεοσεβεις
νομιζειν και καπνοβατας τους ερημους γυναικων σφο-
δρα εναντιουται ταις κοιναις υποληψεσιν· απαντες γαρ τας

Ἔθνη Θρᾳκικά.

δεισιδαιμονίας ἀρχηγοὺς οἴονται τὰς γυναῖκας· αὗται δὲ καὶ τοὺς ἄνδρας προκαλοῦνται πρὸς τὰς ἐπὶ πλέον θεραπείας τῶν θεῶν καὶ ἑορτὰς καὶ ποτνιασμούς· σπάνιον δ' εἴ τις ἀνὴρ καθ' αὑτὸν ζῶν εὑρίσκεται τοιοῦτος. ὅρα δὲ πάλιν τὸν αὐτὸν ποιητὴν ἃ λέγει εἰσάγων τὸν ἀχθόμενον ταῖς περὶ τὰς θυσίας τῶν γυναικῶν δαπάναις καὶ λέγοντα „ἐπιτρίβουσι δ' ἡμᾶς οἱ θεοὶ μάλιστα τοὺς γήμαντας· ἀεὶ γάρ τινα ἄγειν ἑορτὴν ἐστ' ἀνάγκη" τὸν δὲ μισογύνην καὶ τὰ τοιαῦτα αἰτιώμενον„ ἐθύομεν δὲ πεντάκις τῆς ἡμέρας, ἐκυμβάλιζον δ' ἑπτὰ θεράπαιναι κύκλῳ, αἱ δ' ὠλόλυζον". τὸ μὲν οὖν ἰδίως τοὺς ἀγύνους τῶν Γετῶν εὐσεβεῖς νομίζεσθαι παράλογον· τὸ δ' ἰσχύειν ἐν τῷ ἔθνει τούτῳ τὴν περὶ τὸ θεῖον σπουδὴν ἐκ τε ὧν εἶπε Ποσειδώνιος οὐκ ἀπιστητέον καὶ ἐκ τῆς ἄλλης ἱστορίας.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

» 315 « Οἱ γὰρ μέγιστον δυνάμενοι πρότεροι τελέως ἐταπεινώθησαν καὶ ἐξέλιπον, Γαλατῶν μὲν Βόιοι καὶ Σκορδίσκοι, Ἰλλυριῶν δὲ Αὐταριᾶται καὶ Ἀρδιαῖοι καὶ Δαρδάνιοι, Θρᾳκῶν δὲ Τριβαλλοί, ὑπ' ἀλλήλων μὲν ἐξ ἀρχῆς, ὕστερον δ' ὑπὸ Μακεδόνων καὶ Ῥωμαίων ἐκπολεμηθέντες.»

# Έθνη Θρακικά

## Γέται.



"ει τοίνυν Έλληνες τους Γέτας Θράκας υπελάμβανον, ώ- Στραβ. Ζ.
κουν δ' εφ' εκάτερα του Ίστρου και ούτοι και οι Μυσοί, Θράκες 295
όντες και αυτοί και ους νυν Μοισούς καλούσιν, αφ' ων ώρ-
μήθησαν και οι νυν μεταξύ Λυδών και Φρυγών και Τρώων
οικούντες Μυσοί. και αυτοί δ' οι Φρύγες Βρίγες εισί, Θρᾴκιόν
τι έθνος, καθάπερ και Μυγδόνες και Βέβρυκες και Μαι-
δοβιθυνοί και Θυνοί, δοκώ δε και τους Μαριανδυνούς. ούτοι
μεν ουν τελέως εκλελοίπασι πάντες την Ευρώπην, οι δε Μυσοί
συνέμειναν. και Όμηρον δ' ορθώς εικάζειν μοι δοκεί Ποσει-
δώνιος τους εν τη Ευρώπη Μυσούς κατονομάζειν, λέγω δε τους
εν τη Θρᾴκη όταν φη „αυτός δε πάλιν τρέπεν όσσε φαεινώ νό-
σφιν εφ' ιπποπόλων Θρηκών καθορώμενος αίαν Μυσών τ'
αγχεμάχων." επεί εί γε τους κατά την Ασίαν Μυσούς δέχοιτο,
ασυνάρτητος αν είη ο λόγος. το γαρ από των Τρώων τρέ-
ψαντα την όρασιν επί την Θρᾳκών γην συγκαταλέγειν ταύ-
τη την των Μυσών, των ου νόσφιν όντων αλλ' ομόρων τη
Τρωάδι και όπισθεν αυτής ιδρυμένων και εκατέρωθεν,
διειργομένων δ' από της Θρᾴκης πλατεί Ελλησπόντω, συγχέον-
τος αν είη τας ηπείρους και άμα της φράσεως ουκ ακού-
οντος. το γαρ „πάλιν τρέπεν" μάλιστα μεν εστιν εις τουπίσω· ο
δ' από των Τρώων μεταφέρων την όψιν επί τους ή ό-
πισθεν αυτών ή εκ πλαγίων όντας προσωτέρω μεν με-
ταφέρει, εις τουπίσω δ' ου πάνυ. και το επιφερόμενον δ' αυ- Η. 296
τό τούτο μαρτύριον, ότι τους ιππημολγούς, γαλακτοφάγους

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Ἐθνη Θρακικα.

και αβιυς συνηψεν αυτοις, οιπερ εισιν οι αμαξοικοι Σκυθαι και Σαρμαται. και γαρ νυν αναμεμικται ταυτα τα εθνη τοις Θραξι και τα Βασταρνικα, μαλλον μεν τοις εκτος του Ἰστρου, αλλα και τοις εντος. τουτοις δε και τα Κελτικα, οἱ τε Βοιοι και Σκορδισκοι και Ταυρισκοι. τους δε Σκορδισκους ενιοι Σκορδιστας καλουσι· και τους Ταυρισκους δε Τευρισκους η Ταυριστας φασι.

Λεγει δε τους Μυσους ο Ποσειδωνιος και εμψυχων απεχεσθαι κατ' ευσεβειαν, δια δε τουτο και θρεμματων· μελιτι δε χρησθαι και γαλακτι και τυρω ζωντας καθ' ησυχιαν, δια δε τουτο καλεισθαι θεοσεβεις τε και καπνοβατας· ειναι δε τινας των Θρακων οι χωρις γυναικος ζωσιν, ους κτιστας καλεισθαι, ανιερωσθαι τε δια τιμην και μετα αδειας ζην. τουτους δε συλληβδην απαντας τον ποιητην ειπειν αγαυους ιππημολγους γλακτοφαγους αβιους τε, δικαιοτατους ανθρωπους. αβιους δε προσαγορευειν μαλιστα οτι χωρις γυναικων, ηγουμενον ημιτελη τινα βιον τον χηρον, καθαπερ και τον οικον ημιτελη τον Πρωτεσιλαου διοτι χηρος· αγχεμαχους δε τους Μυσους, οτι απορθητοι, καθα οι αγαθοι πολεμισται· δειν δε εν τω τρισκαιδεκατω γραφειν αντι του „Μυσων τ' αγχεμαχων" „Μοισων τ' αγχεμαχων."

Το μεν ουν την γραφην κινειν εκ τοσουτων ετων ευδοκιμησασαν περιττον ισως· πολυ γαρ πιθανωτερον ονομασθαι μεν εξ αρχης Μυσους, μετωνομασθαι δε νυν.

# Έθνη θρακικα.

## Γετων πολυγαμια

262

τους αθέους δε τους χήρους ου μᾶλλον η τους ανεστίους και τους
αμαξοίκους δέξαιτ' άν τις· μάλιστα γαρ περι τα συμβόλαια η
της των χρημάτων ήττον συνισταμένων των αδικημάτων,
τους ούτως απ' ολίγων ευτελως ζώντας δικαιοτάτους εύλογον κλη-
θηναι· επει και οι φιλόσοφοι τη σωφροσύνη την δικαιοσύ-
νην εγγυτάτω τιθέντες το αύταρκες και το λιτον εν τοις
πρώτοις εζήλωσαν· αφ ου και προεκπτώσεις τινας αυτων
παρέωσαν επι τον κυνισμον. το δε χήρους γυναικων
οικειν ουδεμίαν τοιαύτην έμφασιν υπογράφει, και μάλιστα
παρα τοις Θραξι και τούτων τοις Γέταις. όρα δ' α λέγει Μέ- „ 297.
νανδρος περι αυτων ου πλάσας ως εικος, αλλ' εξ ιστορίας λα-
βων „ πάντες μεν οι Θράκες, μάλιστα δ οι Γέται ημεις α-
πάντων (και γαρ αυτος εύχομαι εκείθεν είναι το γένος)
ου σφοδρ' εγκρατεις εσμεν· και υποβας μικρον της περι τας
γυναίκας ακρασίας τίθησι τα παραδείγματα,„ γαμει γαρ
ημων ουδε εις, ει μη δέκ' η ένδεκα γυναίκας δώδεκά τ' η πλέ-
ονας τινας. αν τέτταρας δ' η πέντε γεγαμηκως τύχη καταστροφη-
φης τις, ανυμέναιος άθλιος άνυμφος ούτος επικαλειτ' εν τοις
εκει". ταυτα γαρ ομολογειται μεν και παρα των άλλων·
ουκ εικος δε τους αυτους άμα μεν άθλιον νομίζειν βί-
ον τον μη μετα πολλων γυναικων, άμα δε σπουδαιον
και δίκαιον τον των γυναικων χήρον. το δε η θεοσεβεις
νομίζειν και καπνοβάτας τους ερήμους γυναικων σφό-
δρα εναντιουται ταις κοιναις υπολήψεσιν· άπαντες γαρ της

233

δεισιδαιμονίας αρχηγούς οίονται τας γυναίκας· αύται δε και τους άνδρας προκαλούνται προς τας επί πλέον θεραπείας των θεών και εορτάς και ποτνιασμούς· σπάνιον δ' εί τις ανήρ καθ' αυτόν ζων ευρίσκεται τοιούτος. όρα δε πάλιν τον αυτόν ποιητήν α λέγει εισάγων τον αχθόμενον τοις περί τας θυσίας των γυναικών δαπάναις και λέγοντα „επιτρίβουσι δ' ημάς οι θεοί μάλιστα τους γήμαντας· αεί γαρ τινα άγειν εορτήν εστ' ανάγκη" τον δε μισογύνην αυτά ταύτα αιτιώμενον „εθύομεν δε πεντάκις της ημέρας, εκυμβάλιζον δ' επτά θεράπαιναι κύκλω, αι δ' ωλόλυζον". το μεν δη ιδίως τους αγύνους των Γετών ευσεβείς νομίζεσθαι παράλογον· το δ' ισχύειν εν τω έθνει τούτω την περί το θείον σπουδήν έκ τε ων είπε Ποσειδώνιος ουκ απιστητέον και εκ της άλλης ιστορίας."

„ 315 « Α γαρ ήσαν δυνάμενα πρότερον έθνη τελέως εταπεινώθησαν· μέγιστα, Γαλατών μεν Βόιοι και Σκορδίσκοι, Ιλλυριών δε Αυταριάται και Αρδιαίοι και Δαρδάνιοι, Θρακών δε Τριβαλλοί, υπ' αλλήλων μεν εξ αρχής ύστερον δ' υπό Μακεδόνων και Ρωμαίων εκπολεμούμενοι.»

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ἔθνη θρᾳκικά.

Μαῖδοι. Σίντοι

284

« τῶν δὲ Δαρδανιατῶν εἰσὶ καὶ οἱ Γαλάβριοι, παρ' οἷς πόλις ἀρχαία, καὶ οἱ Θουνάται, [οἳ] Μαίδοις ἔθνει θρᾳκίῳ πρὸς ἕω συνάπτουσιν. » Στρ. Ζ. 316.

« οἱ Σίντοι ἔθνος θρᾳκικὸν κατῴκει τὴν Λῆμνον νῆσον: ὅθεν Ὅμηρος Σίντιας αὐτοὺς καλεῖ λέγων, « ἔνθα με Σίντιες ἄνδρες » Epit. » 331.46

« Εἰς δὴ τὸν Εὔξεινον πόντον εἰσπλέοντι τὰ τῆς Προποντίδος ἐν ἀριστερᾷ μὲν τὰ προσεχῆ τῷ Βυζαντίῳ κεῖται· θρᾳκῶν δ' ἐστί, καλεῖται δὲ τὰ ἀριστερὰ τοῦ Πόντου· ἐν δεξιᾷ δὲ τὰ προσεχῆ Χαλκηδόνι· Βιθυνῶν δ' ἐστὶ τὰ πρῶτα εἶτα Μαριανδυνῶν . . . εἶτα Παφλαγόνων . . . . . . . » ΙΒ. 541.

. . . οἱ μὲν οὖν Βιθυνοί διότι πρότερον Μυσοὶ ὄντες μετωνομάσθησαν οὕτως ἀπὸ τῶν θρᾳκῶν τῶν ἐποικησάντων, Βιθυνῶν τε καὶ Θυνῶν, ὁμολογεῖται παρὰ τῶν πλείστων, καὶ σημεῖα τίθενται τοῦ μὲν τῶν Βιθυνῶν ἔθνους τὸ μέχρι νῦν ἐν τῇ θρᾴκῃ λέγεσθαί τινας Βιθυνούς, τοῦ δὲ τῶν Θυνῶν τὴν Θυνιάδα ἀκτὴν τὴν πρὸς Ἀπολλωνίᾳ καὶ Σαλμυδησσῷ. καὶ οἱ Βέβρυκες δὲ οἱ τούτων προεποικήσαντες τὴν Μυσίαν θρᾷκες ὡς εἰκάζω εἰσίν. εἴρηται δ' ὅτι καὶ αὐτοὶ οἱ Μυσοὶ θρᾳκῶν ἄποικοί εἰσι τῶν νῦν λεγομένων Μοισῶν. »

# έθνη θρακικά.

## Βιθυνοί. Φρύγες. Μυσοί. Δολίονες. Γέται.

Διορίσαι δε τους όρους χαλεπόν τούς τε Βιθυνών και Φρυγών και Μυσών και έτι Δολιόνων των περί Κύζικον Στραβ. ΙΒ'. 564.
ή Μυγδόνων ή Τρώων· ή διότι μεν είναι δει έκαστον φύλον χωρίς ομολογείται (και επί γε των Φρυγών και των Μυσών και παροιμιάζονται „χωρίς τα Μυσών ή Φρυγών ορίσματα“) διορίσαι δε χαλεπόν. αίτιον δε το τους επήλυδας βαρβάρους ή στρατιώτας όντας μη βεβαίως κατέχειν την κρατηθείσαν, αλλά πλάνητας είναι το πλέον εκβάλλοντας και εκβαλλομένους. άπαντα δε τα έθνη ταύτα θράκιά τις εικάσοι αν διά το την περαίαν νέμεσθαι τούτους και διά το μη πολύ εξαλλάττειν αλλήλων εκατέρους. όμως δ' εφ' όσον εικάζειν οίον τε, της μεν Βιθυνίας μέσην άν τις θείη και της εκβολής του Αισήπου την Μυσίαν απτομένης της θαλάττης ή δήκουσαν μέχρι του Ολύμπου σχεδόν τι πάντος· κύκλω δε την Επίκτητον κειμένην εν τη μεσογαία, θαλάττης ουδαμού απτομένην διατείνουσαν δε μέχρι των εώων μερών της Ασκανίας λίμνης τε ή χώρας· ομωνύμως γαρ τη λίμνη και η χώρα ελέγετο, ή ην αυτής το μεν Φρύγιον το δε Μύσιον απωτέρω δε της Τροίας το Φρύγιον. ή δη ή ώδε δεκτέον το παρά τω ποιητή όταν φη „Φόρκυς δ' αυ Φρύγας ήγε ή Ασκάνιος θεοειδής“ „τηλ' εξ Ασκανίης“ της Φρυγιακής, ως έτης εγγυτέρω άλλης Ασκανίας Μυσιακής της προς τη νυν Νικαία, ης μέμνηται όταν φη „Πάλμυν τ' Ασκάνιόν τε Μόρυν θ', υι' Ιπποτίωνος Μυσών αγχεμάχων ηγήτορα, οι ρ' εξ Ασκανίης εριβώλακος ήλθον αμοιβοί“. ου θαυμαστόν δ' ει των Φρυγών [illegible] τινα ηγεμόνα Ασκάνιον ή εξ Ασκανίας ήκοντα, ή Μυσών τινα λέγει ηγεμόνα Ασκάνιον ή εξ Ασκανίας ήκοντα· πολλή γαρ η ομωνυμία παρ' αυτώ ή από των ποταμών ή λιμνών ή χωρίων επίκλησις . .

# Ἔθνη θρᾳκικά. Μαριανδυνοί.

Στραβ. ΙΒ. 542. α. Τοὺς δὲ Μαριανδυνοὺς καὶ τοὺς Καύκωνας οὐχ ὁμοίως πάντες λέγουσι· τὴν γὰρ δὴ Ἡράκλειαν ἐν τοῖς Μαριανδυνοῖς ἱδρῦσθαι φασι Μιλησίων κτίσμα· τίνες δὲ ἢ πόθεν οὐδὲν εἴρηται· οὐδὲ διάλεκτος οὐδ' ἄλλη διαφορὰ ἐθνικὴ περὶ τοὺς ἀνθρώπους φαίνεται, παραπλήσιοι δ' εἰσὶ τοῖς Βιθυνοῖς· ἔοικεν οὖν καὶ τοῦτο θρᾴκιον ὑπάρξαι τὸ φῦλον. Θεόπομπος δὲ Μαριανδυνόν φησι μέρους τῆς Παφλαγονίας ἄρξαντα ὑπὸ πολλῶν δυναστευομένης, ἐπελθόντα τὴν τῶν Βεβρύκων κατασχεῖν, ἣν δ' ἐξέλιπεν ἐπώνυμον ἑαυτοῦ καταλιπεῖν. εἴρηται δὲ καὶ τοῦτο ὅτι πρῶτοι τὴν Ἡράκλειαν κτίσαντες Μιλήσιοι τοὺς Μαριανδυνοὺς εἱλωτεύειν ἠνάγκασαν τοὺς προκατέχοντας τὸν τόπον, ὥστε καὶ πιπράσκεσθαι ὑπ' αὐτῶν, μὴ εἰς τὴν ὑπερορίαν δὲ (συμβῆναι γὰρ ἐπὶ τούτοις) καθάπερ Κρησὶ μὲν ἐθήτευεν ἡ Μνῴα καλουμένη σύνοδος, Θετταλοῖς δὲ οἱ Πενέσται.

Τοὺς δὲ Καύκωνας, .. ἱστοροῦσι τὴν ἐφεξῆς οἰκῆσαι παραλίαν τοῖς Μαριανδυνοῖς μέχρι τοῦ Παρθενίου ποταμοῦ.

549-50 .. τῶν ὀνομάτων μεταπτώσεις πολλαχοῦ δεχομένων μάλιστα ἐν τοῖς βαρβάροις· Σίντιες γὰρ ἐκαλοῦντο τινὲς τῶν θρᾳκῶν, εἶτα Σίντοι, εἶτα Σάϊοι, παρ' οἷς φησιν Ἀρχίλοχος τὴν ἀσπίδα ῥῖψαι. . . . . οἱ δ' αὐτοὶ οὗτοι Σαπαῖοι νῦν ὀνομάζονται· πάντες γὰρ οὗτοι περὶ Ἄβδηρα τὴν οἴκησιν εἶχον καὶ τὰς περὶ Λῆμνον νήσους· ὁμοίως δὲ καὶ Βρύγοι, Βρίγες καὶ Φρύγες οἱ αὐτοί, καὶ Μυσοὶ καὶ Μαίονες καὶ Μῄονες. ..

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

267

# Γέται Ζάμολξις

σπάνει γυναικῶν, αἱ δ' ἐπιλέγουσι το μὲν οὖν ἰδίως τὸ ἀγνὸν Στράβων
τῶν Γετῶν εὐσεβεῖς νομίζεσθαι παράδοξον τι φαίνεται. τὸ Ζ. 297 σ. 409.
δ' ἰσχύειν ἐν τῷ ἔθνει τούτῳ τὴν περὶ τὸ θεῖον σπουδὴν ἔκ
τε ὧν εἶπε Ποσειδώνιος οὐκ ἀπιστητέον καὶ ἐκ τῆς ἄλλης ἱστορίας.

Λέγεται γάρ τινα τῶν Γετῶν ὄνομα Ζάμολξιν δουλεῦσαι Πυθαγόρᾳ καί τινα τῶν οὐρανίων παρ' ἐκείνου μαθεῖν, τὰ δὲ καὶ παρ' Αἰγυπτίων πλανηθέντα καὶ μέχρι δεῦρο· ἐπανελθόντα δ' εἰς τὴν οἰκείαν σπουδασθῆναι παρὰ τοῖς ἡγεμόσι καὶ τῷ ἔθνει προλέγοντα τὰς ἐπισημασίας, τελευτῶντα δὲ πεῖσαι τὸν βασιλέα κοινωνὸν τῆς ἀρχῆς αὐτὸν λαβεῖν ὡς τὰ παρὰ τῶν θεῶν ἐξαγγέλλειν ἱκανόν· καὶ κατ' ἀρχὰς μὲν ἱερέα κατασταθῆναι τοῦ μάλιστα τιμωμένου παρ' αὐτοῖς θεοῦ, μετὰ
ταῦτα δὲ καὶ θεὸν προσαγορευθῆναι, καὶ καταλαβόντα 298
ἀντρῶδές τι χωρίον ἄβατον τοῖς ἄλλοις ἐνταῦθα διαιτᾶσθαι, σπάνιον ἐντυγχάνοντα τοῖς ἐκτὸς πλὴν τοῦ βασιλέως καὶ τῶν θεραπόντων· συμπράττειν δὲ τὸν βασιλέα ὁρῶντα τοὺς ἀνθρώπους προσέχοντας ἑαυτῷ πολὺ μᾶλλον ἢ πρότερον, ὡς ἐκφέροντι τὰ προστάγματα κατὰ συμβουλὴν θεῶν. τοῦτο δὲ τὸ ἔθος διέτεινεν ἄχρι καὶ εἰς ἡμᾶς, ἀεί τινος εὑρισκομένου τοιούτου τὸ ἦθος, ὃς τῷ μὲν βασιλεῖ σύμβουλος ὑπῆρχε, παρὰ δὲ τοῖς Γέταις ὠνομάζετο θεός· καὶ τὸ ὄρος ὑπελήφθη ἱερόν, καὶ προσαγορεύουσιν οὕτως.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

6

268

# Γέται. Ζάμολξις.

Στρ. Ζ. 298 σ. 409

ὄνομα δ᾽ αὐτῷ Κωγαίονον ὁμώνυμον τῷ παραρρέοντι ποταμῷ. καὶ δὴ ὅτε Βυρεβίστας ἦρχε τῶν Γετῶν, ἐφ᾽ ὃν ἤδη παρεσκευάσατο ~~Δεκαίνεος~~ Καῖσαρ ὁ θεὸς στρατεύειν, Δεκαίνεος ἦχε ταύτην τὴν τιμήν, καὶ πως τὸ τῶν ἐμψύχων ἀπέχεσθαι Πυθαγόρειον τοῦ Ζαμόλξιος ἔμεινε παραδοθέν.

Τοιαῦτα μὲν οὖν [ου] κακῶς ἄλλως ἀπορεῖ περὶ τῶν κειμένων παρὰ τῷ ποιητῇ περὶ τε Μυσῶν ἀγαυῶν ἱππημολγῶν. ἃ δ᾽ Ἀπολλόδωρος ἐν τῷ δευτέρῳ περὶ νεῶν προοιμιαζόμενος εἴρηκεν ἥκιστα λέγοιτ᾽ ἄν

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

## Γέται Τριβαλλοί.

### Λυσίμαχος. Δρομιχαίτης.



Στραβ. Ζ. 305

Ομόγλωττοι δ' εισίν οι Δάκοι τοις Γέταις. Παρά μεν τοις Έλλησιν οι Γέται γνωρίζονται μάλλον διά το συνεχείς τας μεταναστάσεις εφ' εκάτερα του Ίστρου ποιείσθαι και τοις Μυσοίς αναμεμίχθαι· και το των Τριβαλλών δ' έθνος, Θρακικόν όν, το αυτό πέπονθε τούτο. μεταναστάσεις γαρ δέδεκται, των προσχώρων εις τους ασθενεστέρους εξαναστάντων, των μεν εκ της περαίας Σκυθών και Βασταρνών και Σαυροματών επικρατούντων πολλάκις, ώστε και επιδιαβαίνειν τοις εξελαθεί-σι και καταμένειν τινάς αυτών η εν ταις νήσοις η εν τη Θράκη· των δ' εκ θατέρου μέρους υπό Ιλλυριών μάλιστα κατισχυομένων. Αυξηθέντες δ' ουν επί πλείστον οί τε Γέται οί τε Δάκοι, ώστε και εικοσι μυριάδας εκπέμπειν στρατείας, νυν όσον εις τετταράκοντα μυριάδας συνεσταλμένοι τυγχάνουσι, και εγγύς μεν ήκουσι του υπακούειν Ρωμαίων, ούπω δ' εισίν υποχείριοι τελέως διά τας εκ των Γερμανών ελπίδας πολεμίων όντων τοις Ρωμαίοις.

Μεταξύ δε της Ποντικής θαλάττης της από Ίστρου επί Τύραν και η των Γετών ερημία πρόκειται πεδιάς πάσα και άνυδρος, εν η Δαρείος αποληφθείς ο Υστάσπου, καθ' ον καιρόν διέβη τον Ίστρον επί τους Σκύθας, εκινδύνευσε πανστρατιά δίψη διαφθαρήναι· συνήκε δ' οψέ γ' ανέστρεψε. Λυσίμαχος δ' ύστερον στρατεύσας επί Γέτας και τον βασιλέα Δρομιχαίτην ου εκινδύνευσε μόνον αλλά και εάλω ζωγρία· εσώθη δε πάλιν τυχών ευγνώμονος του βαρβάρου, καθάπερ είπον πρότερον

# Γέται. Δρομιχαίτης. Λυσίμαχος

«ὁ δὲ Δρομιχαίτης κατὰ τὴν διαδοχὴν τῶν Γετῶν βασιλεύς. Στράβων
ἐκεῖνος τοίνυν λαβὼν ζωγρίᾳ Λυσίμαχον ἐπιστρατεύσαντα Ζ. 302.
αὐτῷ, δείξας τὴν πενίαν τήν τε ἑαυτοῦ καὶ τοῦ ἔθνους, ο. σ. 414.
ὁμοίως δὲ καὶ τὴν αὐτάρκειαν, ἐκέλευσε τοῖς τοιούτοις μὴ
πολεμεῖν, ἀλλὰ φίλοις χρῆσθαι· ταῦτα δ' εἰπών, ξενίσας
καὶ συνθέμενος φιλίαν ἀπέλυσεν αὐτόν.»

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

## Γέται. Τριβαλλοί.

### Λυσίμαχος. Δρομιχαίτης.

Στραβ. Ζ. 305 ὁμόγλωττοι δ' εἰσὶν οἱ Δᾶκοι τοῖς Γέταις. παρὰ μὲν τοῖς Ἕλλησιν οἱ Γέται γνωρίζονται μᾶλλον διὰ τὸ συνεχεῖς τὰς μεταναστάσεις ἐφ' ἑκάτερα τοῦ Ἴστρου ποιεῖσθαι καὶ τοῖς Μυσοῖς ἀναμεμῖχθαι· καὶ τὸ τῶν Τριβαλλῶν δ' ἔθνος, Θρᾳκικὸν ὄν, τὸ αὐτὸ τοῦτο πέπονθε. μεταναστάσεις γὰρ δέδεκται, τῶν προσχώρων εἰς τοὺς ἀσθενεστέρους ἐξανισταμένων, τῶν μὲν ἐκ τῆς περαίας Σκυθῶν καὶ Βασταρνῶν καὶ Σαυροματῶν ἐπικρατούντων πολλάκις, ὥστε καὶ ἐπιδιαβαίνειν τοῖς ἐξελαθεῖσι καὶ καθιδρύεσθαι τινὰς αὐτῶν ἢ ἐν ταῖς νήσοις ἢ ἐν τῇ Θρᾴκῃ· τῶν δ' ἐκ θατέρου μέρους ὑπὸ Ἰλλυριῶν μάλιστα κατισχυομένων. αὐξηθέντες δ' οὖν ἐπὶ πλεῖστον οἵ τε Γέται οἵ τε Δᾶκοι, ὥστε καὶ εἴκοσι μυριάδας ἐκπέμπειν στρατείας, νυν ὅσον εἰς τέτταρας μυριάδας συνεσταλμένοι τυγχάνουσι, καὶ ἐγγὺς μὲν ἥκουσι τοῦ ὑπακούειν Ῥωμαίων, οὔπω δ' εἰσὶν ὑποχείριοι τελέως διὰ τὰς ἐκ τῶν Γερμανῶν ἐλπίδας πολεμίων ὄντων τοῖς Ῥωμαίοις.

Μεταξὺ δὲ τῆς Ποντικῆς θαλάττης τῆς ἀπὸ Ἴστρου ἐπὶ Τύραν καὶ ἡ τῶν Γετῶν ἐρημία πρόκειται πεδιὰς πᾶσα καὶ ἄνυδρος, ἐν ᾗ Δαρεῖος ἀποληφθεὶς ὁ Ὑστάσπεω, καθ' ὃν καιρὸν διέβη τὸν Ἴστρον ἐπὶ τοὺς Σκύθας, ἐκινδύνευσε πανστρατιᾷ δίψῃ διαφθαρῆναι· συνῆκε δ' ὀψὲ καὶ ἀνέστρεψε. Λυσίμαχος δ' ὕστερον στρατεύσας ἐπὶ Γέτας καὶ τὸν βασιλέα Δρομιχαίτην οὐκ ἐκινδύνευσε μόνον, ἀλλὰ καὶ ἑάλω ζωγρίᾳ· πάλιν δὲ ἐσώθη τυχὼν εὐγνώμονος τοῦ βαρβάρου, καθάπερ εἶπον πρότερον

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# Γέται.

σ. 294-5. 3. Τὸ δὲ νότιον μέρος τῆς Γερμανίας τὸ πέ- Στράβων
ραν τοῦ Ἄλβιος τὸ μὲν συνεχὲς αὐτῷ νεωστὶ Σουήβων Ζ΄ σελ. 405
κατέχεται. εἶτ' εὐθὺς ἡ τῶν Γετῶν συνάπτει γῆ, κατ'
ἀρχὰς μὲν στενὴ παρατεταμένη τῷ Ἴστρῳ κατὰ τὸ
νότιον μέρος ...

2. Οἱ τοίνυν Ἕλληνες τοὺς Γέτας Θρᾷκας ὑπελάμβανον· Σ. 406.
ᾤκουν δ' ἐφ' ἑκάτερα τοῦ Ἴστρου καὶ οὗτοι καὶ οἱ Μυσοὶ Θρᾷ-
κες ὄντες καὶ αὐτοὶ καὶ οὓς νῦν Μοισοὺς καλοῦσιν ... ...
...... ὅρα καὶ Μυσοὶ ἐν παρούσῃ συλλογῇ.
... ... Ζάμολξις ... ..

σ. 303. 10. ἔτι γοῦν ἐφ' ἡμῶν Αἴλιος Κᾶτος μετῴκι- Σ. 416
σεν ἐκ τῆς περαίας τοῦ Ἴστρου πέντε μυριάδας σω-
μάτων παρὰ τῶν Γετῶν, ὁμογλώττου τοῖς Θρᾳξὶν ἔ-
θνους, εἰς τὴν Θρᾴκην· καὶ νῦν οἰκοῦσιν αὐτόθι Μοι-
σοὶ καλούμενοι.
ὅρα καὶ <u>ἐποικισμὸς</u> ἐν παρούσῃ συλλογῇ.

Σ. 417.

Τῶν δὲ Γετῶν τὰ μὲν παλαιὰ ἀφείσθω, τὰ δ'
εἰς ἡμᾶς ἤδη τοιαῦτα ὑπῆρξε. Βοιρεβίστας ἀνὴρ
Γέτης, ἐπιστὰς ἐπὶ τὴν τοῦ ἔθνους ἐπιστασίαν, ἀνέλαβε

# Γέται

κεκακωμένους τοὺς ἀνθρώπους ὑπὸ συχνῶν πολέμων
καὶ τοσοῦτον ἐπῆρεν ἀσκήσει καὶ νήψει καὶ τῷ προσέχειν
τοῖς προστάγμασιν, ὥστ' ὀλίγων ἐτῶν μεγάλην ἀρχὴν κα-
τεστήσατο καὶ τῶν ὁμόρων τοὺς πλείστους ὑπέταξε τοῖς Γέταις·
ἤδη δὲ καὶ Ῥωμαίοις φοβερὸς ἦν, διαβαίνων ἀδεῶς τὸν Ἴ-
στρον καὶ τὴν Θρᾴκην λεηλατῶν μέχρι Μακεδονίας καὶ
τῆς Ἰλλυρίδος, τούς τε Κελτοὺς τοὺς ἀναμεμιγμένους τοῖς
τε Θρᾳξὶ καὶ τοῖς Ἰλλυριοῖς ἐξεπόρθησε, Βοίους δὲ καὶ
ἄρδην ἠφάνισε τοὺς ὑπὸ Κριτασίρῳ καὶ Ταυρίσκους.
πρὸς δὲ τὴν εὐπείθειαν τοῦ ἔθνους συναγωνιστὴν ἔ-
σχε Δεκαίνεον ἄνδρα γόητα, πεπλανημένον κα-
τὰ τὴν Αἴγυπτον καὶ προσημασίας ἐκμεμαθηκό-
τα τινάς, δι' ὧν ὑπεκρίνετο τὰ θεῖα· καὶ ὀλίγου
καθίστατο θεός, καθάπερ ἔφαμεν περὶ τοῦ Ζαμόλ-
ξεως διηγούμενοι. τῆς δ' εὐπειθείας σημεῖον· ἐπεί-
σθησαν γὰρ ἐκκόψαι τὴν ἄμπελον καὶ ζῆν οἴνου
χωρίς. ὁ μὲν οὖν Βοιρεβίστας ἔφθη καταλυθεὶς ἐ-
παναστάντων αὐτῷ τινων πρὶν ἢ Ῥωμαίους στεῖλαι
στρατείαν ἐπ' αὐτόν· οἱ δὲ διαδεξάμενοι τὴν ἀρ-
χὴν εἰς πλείω μέρη διέστησαν. καὶ δὴ νῦν, ἡνίκα
ἔπεμψεν ἐπ' αὐτοὺς στρατείαν ὁ Σεβαστὸς Καῖσαρ, εἰς
πέντε μερίδας, τότε δὲ εἰς τέτταρας διεστῶτες ἐ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

τύγχανον· οἱ μὲν νῦν· οἱ μὲν τότε μερίσεις πρὸς καιρὸν καὶ ἄλλοτ' ἄλλοι.

Γέγονε δὲ καὶ ἄλλη τις χώρας μερισμὸς συμμένων ἐκ παλαιοῦ. τοὺς μὲν γὰρ Δάκους προσαγορεύουσι τοὺς δὲ Γέτας, Γέτας μὲν τοὺς πρὸς τὸν Πόντον κεκλιμένους καὶ πρὸς τὴν ἕω, Δάκους δὲ τοὺς εἰς τἀναντία πρὸς τὴν Γερμανίαν καὶ τὰς τοῦ Ἴστρου πηγάς, οὓς Σελ. 418
οἶμαι Δάους καλεῖσθαι τὸ παλαιόν· ἀφ' οὗ καὶ παρὰ τοῖς Ἀττικοῖς ἐπεπόλασε τὰ τῶν οἰκετῶν ὀνόματα <u>Γέται</u> καὶ Δᾶοι. τοῦτο γὰρ πιθανώτερον ἢ ἀπὸ τῶν Σκυθῶν οὓς καλοῦσι Δάας· πόρρω γὰρ ἐκεῖνοι περὶ τὴν Ὑρκανίαν, καὶ οὐκ εἰκὸς ἐκεῖθεν κομίζεσθαι ἀνδράποδα εἰς τὴν Ἀττικήν. ἐξ ὧν γὰρ ἐκομίζετο, ἢ τοῖς ἔθνεσιν ἐκείνοις ὁμωνύμους ἐκάλουν τοὺς οἰκέτας, ὡς Λυδὸν καὶ Σύρον, ἢ τοῖς ἐπιπολάζουσιν ἐκεῖ ὀνόμασι προσηγόρευον, ὡς Μάνην ἢ Μίδαν τὸν Φρύγα, Τίβιον δὲ τὸν Παφλαγόνα. ἐπὶ τοσοῦτον δ' ὑπὸ τοῦ Βοιρεβίστα τὸ ἔθνος ἐξαρθὲν ἐταπεινώθη τελέως ὑπό τε τῶν στάσεων καὶ τῶν Ῥωμαίων· ἱκανοὶ δ' ὅμως εἰσὶν ἔτι καὶ νῦν στέλλειν τέσσαρας μυριάδας.

13 Ῥεῖ δὲ δι' αὐτῶν Μάρισος ποταμὸς εἰς τὸν Δα-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

275

# Γέται

νεύια, ὡς τὰς παρασκευὰς ἀνεκόμιζον οἱ Ῥωμαῖοι τὰς
πρὸς τὸν πόλεμον. καὶ γὰρ τοῦ ποταμοῦ τὰ μὲν ἄνω καὶ
πρὸς ταῖς πηγαῖς μέρη μέχρι τῶν καταρρακτῶν Δα-
νούιον προσηγόρευον, ἃ μάλιστα διὰ τῶν Δακῶν φέ-
c. 305 ρεται, τὰ δὲ κάτω μέχρι τοῦ Πόντου τὰ παρὰ τοὺς Γέτας
καλοῦσιν Ἴστρον. ὁμόγλωττοι δ' εἰσὶν οἱ Δακοὶ τοῖς Γέταις.
παρὰ μὲν οὖν τοῖς Ἕλλησιν οἱ Γέται γνωρίζονται μᾶλ-
λον διὰ τὸ συνεχεῖς τὰς μεταναστάσεις ἐφ' ἑκάτερα
τοῦ Ἴστρου ποιεῖσθαι καὶ τοῖς Μυσοῖς ἀναμεμῖχθαι· καὶ
τὸ τῶν Τριβαλλῶν δ' ἔθνος, Θρᾳκικὸν ὄν, τὸ αὐτὸ πέ-
πονθε τοῦτο· μεταναστάσεις γὰρ δέδεκται, τῶν πλησιοχώ-
ρων εἰς τοὺς ἀσθενεστέρους ἐξαναστάντων, τῶν μὲν ἐκ τῆς
περαίας Σκυθῶν καὶ Βασταρνῶν καὶ Σαυροματῶν ἐ-
πικρατούντων πολλάκις, ὥστε καὶ ἐπιδιαβαίνειν τοῖς ἐξ-
ελαθεῖσι καὶ καταμένειν τινὰς αὐτῶν ἢ ἐν ταῖς νήσοις ἢ
ἐν τῇ Θρᾴκῃ, τῶν δ' ἐκ θατέρου μέρους ὑπ' Ἰλλυριῶν μά-
λιστα κατισχυομένων. αὐξηθέντες δ' οὖν ἐπὶ πλεῖστον οἵ
τε Γέται οἵ τε Δακοί, ὥστε καὶ εἴκοσι μυριάδας ἐκπέμ-
πειν στρατιάς, νῦν ὅσον εἰς τέτταρας μυριάδας συν-
εσταλμένοι τυγχάνουσι, καὶ ἐγγὺς μὲν ἥκουσι τοῦ ὑπακού-
ειν Ῥωμαίων, οὔπω δ' εἰσὶν ὑποχείριοι τελέως διὰ τὰς ἐκ τῶν
Γερμανῶν ἐλπίδας πολεμίων ὄντων τοῖς Ῥωμαίοις.

# Γέται

Μεταξὺ δὲ τῆς Ποντικῆς θαλάττης τῆς ἀπὸ Ἴστρου ἐπὶ Τύραν καὶ ἡ τῶν Γετῶν ἐρημία πρόκειται πεδιὰς πᾶσα καὶ ἄνυδρος, ἐν ᾗ Δαρεῖος ἀποληφθεὶς ὁ Ὑστάσπεω, καθ' ὃν καιρὸν διέβη τὸν Ἴστρον ἐπὶ τοὺς Σκύθας, ἐκινδύνευσε πανστρατιᾷ δίψῃ διαφθαρῆναι· συνῆκε δ' ὀψὲ καὶ ἀνέστρεψε. Λυσίμαχος δ' ὕστερον στρατεύσας ἐπὶ Γέτας καὶ τὸν βασιλέα Δρομιχαίτην οὐκ ἐκινδύνευσε μόνον, ἀλλὰ καὶ ἑάλω ζωγρίᾳ· ἐσώθη δ' ἐπειδὴ τυχὼν εὐγνώμονος τοῦ βαρβάρου, καθάπερ εἶπον πρότερον. — Στράβων Ζ. σελ. 419.

ὅρα Λυσίμαχος ἐν παρούσῃ συλλογῇ. — Παυσανίας Ἀττικὰ Α΄ VIII 7. σελ. 19